# Landesbibliothek Oldenburg

**Digitalisierung von Drucken**


## Gottlieb Christophori Harles Anthologia Graeca Poetica

**Harless, Adolf Gottlieb Christoph**

**Baruthi, MDCCXCII.**

**VD18 13527622**

Eivsdem In Proarchvm Pro Patria Pvgnando Occvmbentem

**urn:nbn:de:gbv:45:1-18225**

Visual Library

Οὐδέ μιν ἀλγινόεσσα νόσος δόμον ἄγαγε Νυκτὸς,
Ἀλλ᾽ ὄλετ᾽ ἀμφ᾽ ἑτάρων σχὼν κυκλόεσσαν ἴτυν.

## EIVSDEM IN LOCVSTAM *)

Οὐκ ἔτι λίγειά σε κατ᾽ ἀφνεὸν Ἄκιδος οἶκον, I
Ἀκρὶ, μελιζομέναν ὄψεται ἠέλιος.
Ἤδη γὰρ λειμῶνας ἐπὶ Κλυμένου πεπότησαι,
Καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.

## EIVSDEM IN PROARCHVM PRO PATRIA PVGNANDO OCCVMBENTEM **)

Ἥβᾳ μέν συ, Πρόαρχε, πεσὼν παίδων, τά γε ματρὸς I
Στή-

v. 3. νυκτὸς noctis h. e. *mortis*. v. *Wolf*. ad h. l. et *Drakenb*. ad Sil. Ital. X. 173.

v. 4. ἀμφ᾽ ἑτάρων] dum defendebat in pugna ſocios, vt Aiax ſuo clypeo Teucrum et alios ſocios defendiſſe legitur. vide Obſopaeum apud Wolfium.

*) v. *Wolfium* p. 104.

v. 1. ἀφν. *Ammon*. ſ. voc. πλέσιος — Ἄφνειος inquit, ὁ ἀπ᾽ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων. ἔνος γὰρ ὁ ἐνιαυτός.

v. 4. δροσ. Vrſinus legit δνοφερὰ, atros, caliginoſos.

**) Vid. *Wolf*. pag. 114. *Brunck*. l.c. p. 199. et ſupra ad Tyrtaeum, I.

Στήθεα ἐν δνοφερῷ πένθει ἔθου φθίμενος.
Ἀλλὰ καλόν τοι ὕπερθεν ἔπος τόδε πέτρος ἀείδει,
Ὡς ἔθανες πρὸ φίλας μαρνάμενος πατρίδος.

## EIVSDEM IN HIRCVM AENEVM *)

1 Θάεο τὸν Βρομίου κεραὸν τράγον, ὡς ἀγερώχως
Ὄμμα κατὰ λασίαν γαῦρον ἔχει γενύων.
Κυδιόων ὅτι οἷ θάμ' ἐν οὔρεσιν ἀμφὶ παρῇδα
Βόστρυχον ἐις ῥοδέαν Ναῒς ἔδεκτο χέρα.

EPIGR.

*) v. *Wolf.* pag. 114. *Brunck.* l. c. p. 199.

v. 4. βόστρ. v. indic.